*Μεν.* Ὅταν θέλῃ τις τἀτρεκῆ προμανθάνειν,
μάτην πλανᾶται τὸ σαφὲς †σοφῶς μαθεῖν.
*Φιλ.* Ἐὰν θελήσῃς βίον ἄλυπον ἐκτελεῖν,
μὴ προσδόκα τὸ μέλλον ἢ λυπῇ μάτην.
*Μεν.* Ὅστις κάτοιδε τοῦ βίου τὴν ἔκβασιν,
μαθὼν †ὀδυνᾶται προσδοκῶν καθ᾽ ἡμέραν.
*Μεν.* Οὐδὲν πέφυκε κρεῖττον †τῆς εὐκαιρίας·
καιροῦ γὰρ ἰσχύοντος οὐδὲ εἷς κριτής.
*Φιλ.* Ὅστις τὸν εὐτυχοῦντα βασκαίνειν θέλει,
λυπεῖν ἑαυτὸν βούλετ᾽{αι} εἰς ὃν ζῇ χρόνον.
*Μεν.* † Τὸ ἐξαίφνης ἀόρατον †
ἀπροσδοκήτως ἐλθὸν ἰδίαν χάριν ἔχει.
*Φιλ.* Οὔτ᾽ εὐτυχεῖν δεῖ πάμπαν οὔτε δυστυχεῖν.
ῥοπαῖς δὲ καιρῶν καὶ μεταβολαῖς †πάντα ἀλλάσσεται.
*Μεν.* Ἐκ τοῦ τυχεῖν ἄνθρωπον ἀβεβαίου βίου
τύχην {εκ}καλοῦμεν ἣν ὅλως οὐκ οἴδαμεν.
*Φιλ.* Κἂν αἰτιᾷ, μέτρησον αὐτοῦ τὴν τύχην.
ποῖον πέφυκε κέρδος ἐκ τούτου, φράσον.
*Μεν.* Κακοὶ γὰρ εὐτυχοῦντες ἐκπλήττουσί με.
ἀδίκως πονηροῖς †πλοῦτον δωρεῖται θεός.
*Φιλ.* Ὡς θνητὸς ὢν ἄνθρωπος †καὶ λιπὼν φάος,
χαλιναγωγεῖν δεῖ τὸν τεταγμένον χρόνον.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403921082/94 UNIVERSITÄT LEIPZIG